## Leçon XXI.

*Τὸ δὲ γευστόν.* Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ ὁρατοῦ καὶ ἀκουστοῦ καὶ ὀσφραντοῦ, ἐνταῦθα, τέταρτον, διορίζεται περὶ τοῦ γευστοῦ, | καὶ διαιρεῖται εἰς δύο μέρη. Πρῶτον μὲν γὰρ διορίζεται περὶ τοῦ γευστοῦ f. 316ᵛ
κοινῶς· δεύτερον, περὶ τῶν εἰδῶν τοῦ γευστοῦ, δηλονότι τοῦ χυμοῦ, ἐν τῷ· *Τὰ δ' εἴδη τῶν χυμῶν.* Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, ζητεῖ εἰ τὸ γευστὸν καταλαμβάνεται διὰ τοῦ μεταξύ· δεύτερον, δείκνυσι τί καταλαμβάνεται διὰ τῆς γεύσεως, ὅτι τὸ γευστὸν καὶ ἄγευστον, ἐν τῷ· *Ὥσπερ δὲ ἡ ὄψις·* τρίτον, ποταπὸν εἶναι δεῖ τὸ ὄργανον τῆς γεύσεως. Τούτων γὰρ τῶν τριῶν ἥψατο καὶ περὶ τὰς ἄλλας αἰσθήσεις, δηλονότι τοῦ μέσου, ᾧ γίνεται ἡ αἴσθησις, τοῦ αἰσθητοῦ, ὃ τῇ αἰσθήσει καταλαμβάνεται, καὶ τοῦ ὀργάνου τῆς αἰσθήσεως, ἐν τῷ· *Ἐπεὶ δὲ ὑγρὸν τὸ γευστόν.* Περὶ τὸ πρῶτον αὖθις τρία ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι τὸ γευστὸν οὐ καταλαμβάνεται διὰ μέσου ἐξωτερικοῦ· δεύτερον, ἐκβάλλει τινὰ ἀντίθεσιν, ἐν τῷ· *Διὸ κἂν ἐν ὕδατι·* τρίτον, δείκνυσι τί ζητεῖται πρὸς τὸ γευστὸν ἐνεργείᾳ καταλαμβάνεσθαι, ἐν τῷ· *Οὔτε δὲ ποιεῖ χυμόν.*

Λέγει τοίνυν πρῶτον, ὅτι τὸ γευστόν ἐστιν ἁπτόν τι, τουτέστιν ἁφῇ διακρινόμενον· καὶ αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν οὐκ αἰσθάνεται διὰ τοῦ μεταξὺ σώματος ἐξωτερικοῦ ὄντος καὶ ἀλλοτρίου· καὶ λέγει ἀλλότριον, ὅπερ οὐκ ἔστι μέρος τοῦ ζῴου. Αἰσθάνονται γὰρ τὰ αἰσθητά, περὶ ὧν εἴρηται πρότερον, διά τε ἀέρος καὶ ὕδατος, ἅπερ οὐκ εἰσὶ μέρη τοῦ ζῴου. Ἀλλ' ἡ ἁφὴ οὐκ αἰσθάνεται τοῦ ἑαυτῆς ἀντικειμένου διὰ μέσου ἀλλοτρίου, ἀλλὰ διὰ μέσου συνημμένου· ἡ γὰρ σὰρξ ἐστι μέσον ἐν τῇ αἰσθήσει τῆς ἁφῆς, ὡς προϊόντι δειχθήσεται. Καὶ διὰ τοῦτο, ἐπεὶ ἡ γεῦσις ἐστὶν ἁφή τις, καὶ τὸ γευστόν ἐστιν ἁπτόν τι, οὐ καταληφθήσεται τὸ γευστὸν διὰ μέσου ἀλλοτρίου. Καὶ ὅτι τὸ γευστόν ἐστιν ἁπτόν τι, δῆλον ποιεῖ διὰ τοῦ τὸν χυμόν, ὅς ἐστι τὸ γευστόν, ῥιζοῦσθαι ὡσανεὶ ἐν τῷ ὑγρῷ ὡς ἐν ἰδίᾳ ὕλῃ· τὸ δὲ ὑγρόν ἐστιν ἁπτόν τι. Ὅθεν φανερόν ἐστιν, ὅτι τὸ γευστόν ἐστιν ἁπτόν τι. Ἀλλ' ἐπειδὴ ἡ γεῦσις ἐστὶν ἁφή τις, δόξειεν ἂν μὴ ὀφείλειν ἀντιδιῃρῆσθαι τῇ ἁφῇ, ἐπεὶ τὰ εἴδη οὐκ ἀντιδιαιροῦνται τῷ γένει· καὶ οὕτως ἕπεται μὴ εἶναι πέντε αἰσθήσεις ἀλλὰ τέσσαρας μόνον. Ἀλλὰ ῥητέον ἐστὶν ὅτι ἡ γεῦσις καὶ ἡ ἁφὴ δύνανται θεωρεῖσθαι διχῶς· ἕνα μὲν τρόπον, ὅσον πρὸς τὸν τρόπον τοῦ αἰθάνεσθαι, καὶ οὕτως ἡ γεῦσις ἐστὶν ἁφή τις· ἁπτομένη γὰρ καταλαμβάνει τὸ ἴδιον ἀντικείμενον· ἄλλον δὲ τρόπον, ὅσον πρὸς τὸ ἀντικείμενον, καὶ οὕτω δεῖ λέγειν, ὅτι ὡς

5 *τῶν χυμῶν* B  6 *αὖθις* après *πρῶτον* (1°) add B  7 *μὲν γὰρ* avant *ζητεῖ* add B  13 *καὶ* avant *περὶ* add B  *αὖθις*: *πάλιν* B  26-27 *οὐ καταληφθήσεται — ἁπτόν τι* om B  30 *ἐπεὶ* B

ἔχει τὸ ἀντικείμενον τῆς γεύσεως πρὸς τὸ ἀντικείμενον τῆς ἁφῆς, οὕτως ἔχει καὶ ἡ γεῦσις πρὸς τὴν αἴσθησιν τῆς ἁφῆς. Φανερὸν δέ ἐστιν ὅτι ὁ χυμός, ὅς ἐστιν ἀντικείμενον τῆς γεύσεως, οὐκ ἔστι τις ἐκ τῶν ποιοτήτων τῶν ἁπλῶν σωμάτων, ἐξ ὧν τὸ ζῷον συνίσταται, αἵ εἰσιν ἴδια ἀντικείμενα τῆς αἰσθήσεως τῆς ἁφῆς, ἀλλὰ γίνεται ἐξ αὐτῶν καὶ θεμελιοῦται ἔν τινι αὐτῶν ὡς ἐν ὕλῃ, δηλονότι ἐν τοῖς ὑγροῖς. Ὅθεν φανερόν ἐστιν ὅτι ἡ γεῦσις οὐκ ἔστι τὸ αὐτὸ ὅπερ ἡ αἴσθησις τῆς ἁφῆς, ἀλλὰ τρόπον τινὰ ῥιζοῦται ἐν αὐτῇ· ὅθεν καὶ εἰώθαμεν τὴν γεῦσιν διακρίνειν, ὅτι διχῶς λαμβάνεσθαι δυνατὸν τὴν γεῦσιν, καθό τέ ἐστι διακριτικὴ τῶν χυμῶν καὶ καθό ἐστιν ἁφή τις διακρίνουσα τὰς ἁπτὰς ποιότητας τῆς τροφῆς, ὅπερ τῆς ἁφῆς ἐστίν, ὡς προείρηται. Ὅθεν καὶ ὁ Φιλόσοφος φησὶν ἐν τῷ τρίτῳ τῶν ἠθικῶν, ὅτι περὶ τὰς ἡδονὰς τῆς γεύσεως λαμβανομένης κατὰ τὸν πρῶτον τρόπον οὐκ ἔστιν ἡ σωφροσύνη, ἀλλὰ μόνον καθό ἐστιν ἐνέργειά τις.

Διὸ καὶ ἐν ὕδατι ἦμεν. Ἐνταῦθα ἀποκλείει τινὰ ἀντίθεσιν. Φανερὸν γάρ ἐστιν ὅτι, εἴ τι σῶμα χυμὸν ἔχον καὶ διαλύεσθαι δυνάμενον διὰ τοῦ ὕδατος τεθείη ἐν τῷ ὕδατι οἷον μέλι, ἤ τι τοιοῦτον, καὶ ἡμεῖς εἴημεν ἐν τῷ ὕδατι, εἰ καὶ διϊστάμεθα τοῦ σώματος ἐκείνου τοῦ τὸν χυμὸν ἔχοντος, τοῦ μέντοι χυμοῦ λάβοιμεν ἂν αἴσθησιν ἐν τῷ ὕδατι, καὶ οὕτω δόξειεν ἂν ὅτι ἡ γεῦσις ἀντιλαμβάνεται τοῦ ἑαυτῆς ἀντικειμένου διὰ τοῦ ὕδατος, ὅπερ ἐστὶ μέσον ἀλλότριον καὶ ἐξωτερικόν· καὶ διὰ τοῦτο πρὸς τὸ ἀποκλεῖσαι ταύτην τὴν ἀντίθεσιν συμπεραίνει ἐκ τῶν εἰρημένων ὅτι, ἐπεὶ τὸ γευστὸν οὐ καταλαμβάνεται διὰ μέσου ἐξωτερικοῦ, ἕπεται ὅτι εἰ εἴημεν ἐν τῷ ὕδατι, αἰσθανοίμεθα ἂν πάντως τοῦ γλυκέος σώματος τοῦ
f. 317 ἐμβαλλομένου | τῷ ὕδατι, εἰ καὶ διέστηκεν ἡμῶν, οὐ μέντοι εἴη ἂν ἡ αἴσθησις διὰ τοῦ μεταξύ, ἀλλ' ἐκ τοῦ τὸν χυμὸν ἐκεῖνον ἀναμίγνυσθαι τῷ ὑγρῷ ὕδατι, ὥσπερ συμβαίνει ἐν τῇ πόσει, ὡς ὅταν ἀναμίγνυται τῷ ὕδατι ἢ τῷ οἴνῳ τὸ μέλι ἤ τι τοιοῦτον· αὐτὸ γὰρ τὸ ὕδωρ μεταβάλλεται ὑπὸ τοῦ χυμώδους σώματος. Ὅθεν ἡ γεῦσις οὐκ ἀντιλαμβάνεται τοῦ χυμοῦ τοῦ σώματος τοῦ διεστῶτος, καθό ἐστι τοιούτου σώματος χυμός, ἀλλὰ καθό ἐστιν ὕδωρ ὑπὸ τοιούτου σώματος μεταβληθέν. Ὅθεν σημεῖον αὐτοῦ ἐστιν, ὅτι ἡ γεῦσις οὐκ ἂν μεταβληθείη ὑπὸ τοῦ ὕδατος οὕτως ἐπιτεταμένως ὥσπερ πέφυκε μεταβάλλεσθαι ὑπὸ τοῦ χυμοῦ τοῦ σώματος τοῦ διεστῶτος, διὰ τὸ τὸν χυμὸν ἐκεῖνον ἀσθενεῖν καὶ χαυνοῦσθαι τῇ μίξει τοῦ ὕδατος. Ἀλλὰ τὸ χρῶμα οὐχ οὕτω δοκεῖ ὁρᾶσθαι διὰ τοῦ μέσου, ὥστε τὸ σῶμα τὸ κεχρωσμένον μίγνυσθαι τῷ μέσῳ, ἤ τι αὐτοῦ ἀπορρέειν πρὸς τὴν ὅρασιν, ὡς ὁ Δημόκριτος ἐτίθει, ἀλλὰ διὰ τῆς πνευματικῆς τοῦ μέσου μεταβολῆς. Ὅθεν ἡ ὄψις οὐ καταλαμβάνει τὸ χρῶμα ὡς ἀέρος, ἢ ὡς ὕδατος, εἰ καὶ ὡς σώματος κεχρωσμένου διεστῶτος καὶ κατὰ τὸ αὐτὸ μέτρον. Ἂν τοίνυν ἐθέλωμεν παραβάλλειν τὴν γεῦσιν πρὸς τὴν ὄψιν, οὐδὲν

ἐστιν ἐν τῇ γεύσει ὥσπερ τὸ ἐν τῇ ὄψει μεταξύ, ἀλλ' ὥσπερ τὸ χρῶμα ἐστὶν ὁρατὸν ἤγουν ἀντικείμενον τῆς ὄψεως, οὕτω καὶ ὁ χυμός ἐστι γευστὸν ἤγουν ἀντικείμενον τῆς γεύσεως.

Οὐδὲν δὲ ποιεῖ. Ἐνταῦθα δείκνυσι τί ζητεῖται πρὸς τὴν γεῦσιν, ἐπεὶ τὸ μέσον οὐ ζητεῖται, καὶ φησὶν ὅτι οὐδὲν χυμὸν ἔχον ποιεῖ αἴσθησιν τοῦ ἰδίου χυμοῦ ἄνευ ὑγρότητος. Ὡς γὰρ τὸ χρῶμα γίνεται ἐνεργείᾳ ὁρατὸν διὰ τοῦ φωτός, οὕτω καὶ ὁ χυμὸς γίνεται ἐνεργείᾳ γευστὸς διὰ τοῦ ὑγροῦ· καὶ διὰ τοῦτο δεῖ τὸ γευστὸν ἢ ἐνεργείᾳ ἔχειν ὑγρότητα ὑδατώδη, ὥσπερ ὁ οἶνος, ἤ τι τοιοῦτον, ἢ εἶναι δυνάμει ὑγραντόν, ὥσπερ τὸ λαμβανόμενον τρόπῳ τροφῆς. Καὶ διὰ τοῦτο δεῖ εἶναι σύελον ἐν τῷ στόματι εὔτηκτον καὶ συντηκτικὸν τῆς γλώττης, δι' οὗ τὰ λαμβανόμενα ὑγραίνονται, ὡς δύνασθαι οὕτω καταλαμβάνεσθαι τὸν αὐτῶν χυμόν.

Ὥσπερ δέ. Ἐνταῦθα δείκνυσι τί καταλαμβάνεται διὰ τῆς γεύσεως, καὶ φησὶν ὅτι, ὥσπερ ἐστὶ περὶ τῆς ὄψεως καὶ τῆς ἀκοῆς, οὕτως ἐστὶ καὶ περὶ τῆς γεύσεως. Ἡ γὰρ ὄψις γινώσκει τὸ ὁρατὸν καὶ τὸ ἀόρατον, ὡς προείρηται· τὸ γὰρ ἀόρατον ἐστὶ τὸ σκότος, περὶ οὗ ἡ ὄψις οὐ κρίνει· ὁμοίως καὶ τὸ λίαν λαμπρόν, οἷον ὁ ἥλιος, λέγεται ἀόρατον, ἀλλὰ ἄλλον τρόπον ἢ τὸ σκότος· τὸ γὰρ σκότος λέγεται ἀόρατον διὰ τὴν ἔλλειψιν τοῦ φωτός, τὸ δὲ λαμπρόν, διὰ τὴν ὑπερβολὴν τοῦ φωτὸς διαφθείρουσαν τὴν αἴσθησιν. Ὁμοίως καὶ ἡ ἀκοὴ ἐστὶ τοῦ ἀκουστοῦ, δηλονότι τοῦ ψόφου καὶ τοῦ οὐκ ἀκουστοῦ, οἷον τῆς σιωπῆς, ἥ ἐστι στέρησις τοῦ ψόφου, καὶ ἔτι τοῦ ψόφου τοῦ κακῶς ἀκουστοῦ, ὃς ἢ διὰ μέγεθος φθείρει τὴν αἴσθησιν, ἢ διὰ σμικρότητα οὐκ ἀρκούντως μεταβάλλει τὴν αἴσθησιν. Οὕτω δὲ ἔχει καὶ ἐν πᾶσι τοῖς λεγομένοις κατὰ δύναμιν καὶ ἀδυναμίαν. Τὸ γὰρ ἀδύνατον λέγεται ἐπὶ πάντων ἢ διὰ τὸ μὴ ἔχειν ὃ πέφυκεν ἔχειν, ἢ διὰ τὸ κακῶς ἔχειν, ὥσπερ ἀπεριπάτητον ζῷον λέγεται καὶ τὸ παντάπασιν ἐστερημένον ποδῶν καὶ τὸ χωλὸν ἢ ἐξησθενηκὸς τοὺς πόδας. Ὁμοίως δὲ καὶ ἡ γεῦσις ἐστὶ τοῦ γευστοῦ καὶ ἀγεύστου. Ἄγευστον δὲ λέγεται, ὅπερ ἢ μικρὸν χυμὸν ἔχει, ἢ πονηρόν, ἢ σφόδρα βίαιον ὥστε διαφθείρειν τὴν αἴσθησιν. Καὶ διότι τὸ γευστόν ἐστιν ὑγρὸν ὑδατῶδες, ὅπερ ἐστὶ τὸ ποτόν, καὶ τοῦτό ἐστιν ἀρχὴ τοῦ χυμοῦ, δηλονότι τὸ ὑδατῶδες ὑγρόν, δοκεῖ τὸ ποτὸν καὶ ἄποτον εἶναι ἀρχὴν τῶν τῇ γεύσει καταλαμβανομένων. Ἡ γεῦσις γὰρ καὶ ἀμφοῖν ἀντιλαμβάνεται, ἀλλὰ θατέρου μὲν ὡς φαύλου καὶ φθαρτικοῦ τῆς αἰσθήσεως, δηλονότι τοῦ ἀπότου, τοῦ λοιποῦ δὲ ὡς οἰκείου κατὰ φύσιν, δηλονότι τοῦ ποτοῦ. Ὥσπερ δὲ τὸ γευστὸν καὶ ἄγευστον καταλαμβάνεται ὑπὸ τῆς γεύσεως, καθὸ ἡ γεῦσις αἴσθησίς τίς ἐστι διακεκριμένη τῆς ἁφῆς, οὕτω καὶ τὸ ποτὸν καὶ ἄποτον καταλαμβάνεται τῇ γεύσει, καθὸ ἡ γεῦσις ἐστὶν ἁφή τις· τὸ γὰρ ποτόν ἐστι κοινὸν καὶ τῆς γεύσεως

---

16 *τὸ* avant *σκότος* om B



Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῆς ἀφῆς, τῆς μὲν ἀφῆς, καθόσον ἐστὶν ὑγρόν, τῆς δὲ γεύσεως καθόσον ὑγρὸν χυμὸν ἔχει. Φανερὸν τοίνυν ἐστίν, ὅτι αἱ ἐν τοῖς βρώμασι καὶ πόμασιν ἡδοναί, καθόσον εἰσὶ βρώσιμα καὶ πόσιμα, ἀνήκουσι πρὸς τὴν γεῦσιν καθὸ ἐστιν ὡς ἀφή τις, ὡς λέγεται ἐν τῷ τρίτῳ τῶν ἠθικῶν.

f. 317v Ἐπεὶ δὲ ὑγρόν. Ἐνταῦθα δείκνυσι ποταπὸν | εἶναι δεῖ τὸ ὄργανον τῆς γεύσεως. Καὶ πρῶτον τίθησι τὴν ἀλήθειαν· δεύτερον, φανεροῖ αὐτὴν διὰ σημείου, ἐν τῷ· Σημεῖον δέ. Φησὶ τοίνυν, πρῶτον ὅτι, εἰ τὸ γευστὸν δεῖ εἶναι ὑγρὸν καὶ πεποιωμένον, ἀνάγκη καὶ τὸ ὄργανον τῆς γεύσεως μήτε εἶναι ὑγρὸν ἐνεργείᾳ καθ' αὑτό, μήτε εἶναι τοιοῦτον ὥστε μὴ δύνασθαι γίνεσθαι ὑγρόν, ὥσπερ καὶ τοῦ ὀργάνου τῆς ὄψεως ἔστι τὸ μὴ ἔχειν χρῶμα, ἀλλὰ δεκτικὸν εἶναι χρώματος· κἀντεῦθεν ἔστι τὸ τὴν γεῦσιν πάσχειν ὑπὸ τοῦ γευστοῦ καθὸ γευστόν, ὥσπερ πᾶσα αἴσθησις ὑπὸ τοῦ αἰσθητοῦ. Ὅθεν, ἐπεὶ τὸ γευστόν, καθόσον γευστόν, ἐστὶν ὑγρόν, ἀνάγκη τὸ ὄργανον τῆς γεύσεως, καθόσον ἐστὶν ἤδη πεπονθός, ὑγράνθαι, ὅπερ σῴζεται μὲν ἐν τῇ ἑαυτοῦ φύσει ὥστε εἶναι γευστικόν, τουτέστι δυνάμενον γεύεσθαι, ἐπεὶ δύναται ὑγραίνεσθαι, οὐ μέντοι γε ἐστὶν ἐνεργείᾳ ὑγρόν.

Σημεῖον δέ. Ἐνταῦθα φανεροῖ τὸ εἰρημένον διὰ σημείου λέγων, ὅτι σημεῖον δὲ τῶν προειρημένων ἐστίν, ὅτι ἡ γλῶττα οὔτε ξηρὰ οὖσα δύναται αἰσθάνεσθαι, οὔτε λίαν οὖσα ὑγρά, διότι, ὅταν ᾖ λίαν ὑγρὰ τῇ προλαβούσῃ ὑγρότητι, γίνεται ἡ αἴσθησις τῆς ἀφῆς τοῦ προηγησαμένου χυμοῦ, οὐ τοῦ ἐπιγινομένου, ὥσπερ ὁπόταν τις προγευματίσῃ ἰσχυροῦ χυμοῦ καὶ μετὰ ταῦτα γεύηται ἑτέρου, οὐ καταλήψεται τὸν δεύτερον διὰ τὸ μένειν ἔτι τὴν αἴσθησιν τοῦ πρώτου χυμοῦ ἐν τῇ γλώττῃ. Ὁμοίως καὶ τοῖς κάμνουσι καὶ πυρέττουσι πάντα δοκεῖ εἶναι πικρὰ διὰ τὸ αἰσθάνεσθαι διὰ γλώττης πλήρους τοιαύτης ὑγρότητος, δηλονότι χυλώδους καὶ πικρᾶς.

Τὰ δ' εἴδη τῶν χυμῶν. Ἐνταῦθα διορίζεται περὶ τῶν εἰδῶν τῶν χυμῶν, καὶ φησὶν ὅτι, ὥσπερ ἐπὶ τῶν χρωμάτων τὰ ἁπλᾶ χρώματα εἰσὶν ἐναντία, οἷον τὸ λευκὸν καὶ μέλαν, οὕτω καὶ ἐπὶ τῶν χυμῶν οἱ ἁπλοῖ εἰσὶν ἐναντίοι, ὡς τὸ γλυκὺ καὶ πικρόν, εἴδη δὲ τῶν χυμῶν ἐχόμενα τούτων, τουτέστιν ἀμέσως ἑπόμενα τοῖς ἁπλοῖς εἴδεσιν, εἰσὶ ταῦτα· τὸ λιπαρόν, ὅπερ ἕπεται τῷ γλυκεῖ, καὶ τὸ ἁλμυρόν, ὅπερ ἕπεται τῷ πικρῷ· μέσα δὲ τούτων εἰσὶ τό τε δριμὺ καὶ τὸ αὐστηρὸν καὶ στρυφνόν, ἅτινα δύο εἰς ταὐτὸν ἀνάγονται, καὶ τὸ ὀξύ. Πρὸς ταῦτα γὰρ τὰ ἑπτὰ εἴδη τῶν χυμῶν σχεδὸν δοκοῦσιν ἀνάγεσθαι πάντα τὰ ἄλλα. Δεῖ δὲ θεωρεῖν περὶ ταῦτα τὰ εἴδη ὅτι, εἰ καὶ οἱ χυμοὶ γίνονται ἀπὸ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, καὶ ἐναντία εἰσὶ τὰ μάλιστα διεστῶτα, οὐ μέντοι γε κατὰ τὴν διάστασιν τὴν μεγίστην τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ

---

2 ἔχοι B

ὑγροῦ καὶ ξηροῦ κατανοεῖται ἡ διάστασις καὶ ἐναντιότης ἐν τοῖς εἴδεσι τῶν χυμῶν, ἀλλὰ κατὰ τὴν τάξιν τὴν πρὸς τὴν γεῦσιν καθὸ πέφυκεν ἡ γεῦσις μεταβάλλεσθαι ὑπὸ τοῦ χυμοῦ μετά τινος ἀηδίας, ἢ ἡδονῆς. Ὅθεν οὐκ ἔστιν ἀναγκαῖον τὸ γλυκύ, ἢ τὸ πικρὸν εἶναι μάλιστα ἢ ψυχρόν, ἢ θερμόν, ἢ ὑγρόν, ἢ ξηρόν, ἀλλὰ μάλιστα ἔχειν τῆς τοιαύτης διαθέσεως καθ' ἣν παραβάλλονται πρὸς τὴν αἴσθησιν τῆς γεύσεως. Περὶ δὲ τῆς γενέσεως τῶν χυμῶν διορισθήσεται ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ.

Ὥστε τό. Ἐνταῦθα τελευταῖον συμπεραίνει, ὅτι τὸ γευστικόν, τουτέστιν ἡ αἴσθησις τῆς γεύσεως ἢ τὸ ὄργανον αὐτῆς, ἔστιν ἐν δυνάμει πρὸς τὸν χυμὸν καὶ τὰ εἴδη αὐτοῦ· γευστὸν δέ ἐστι τὸ δυνάμενον ἀνάγειν τὸ γευστικὸν ἐκ δυνάμεως εἰς ἐνέργειαν.

## Leçon XXII.

Περὶ δὲ τοῦ ἁπτοῦ καὶ τῆς ἁφῆς. Διορισάμενος ὁ Φιλόσοφος περὶ τῶν αἰσθητῶν κατὰ τὰς ἄλλας αἰσθήσεις, ἐνταῦθα διορίζεται τελευταῖον περὶ τοῦ αἰσθητοῦ κατὰ ἁφήν, διότι ἡ ἁφὴ ἐν πάσαις ταῖς αἰσθήσεσι δοκεῖ εἶναι ἧττον πνευματική, εἰ καὶ ἔστι θεμέλιον ὡσανεὶ πασῶν τῶν ἄλλων αἰσθήσεων. Καὶ διαιρεῖται εἰς δύο· πρῶτον, διορίζεται τινὰς ἀπορίας περὶ τὴν αἴσθησιν τῆς ἁφῆς· δεύτερον, φανεροῖ τὴν ἀλήθειαν περὶ ταύτην τὴν αἴσθησιν, ἐν τῷ· Ὅλως δὲ ἔοικεν. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, κινεῖ τὰς ἀπορίας· δεύτερον, διορίζεται αὐτάς, ἐν τῷ· Πᾶσα δὲ αἴσθησις. Φησὶ τοίνυν, πρῶτον, ὅτι ὅσον πρὸς ἐκεῖνα περὶ ὧν δεῖ ζητεῖν, ὁ αὐτὸς λόγος ἐστίν, ἄν τε περὶ ἁπτοῦ διαλεγώμεθα, ἄν τε περὶ ἁφῆς· τὸ γὰρ λεγόμενον περὶ τοῦ ἑνὸς δεῖ λέγεσθαι καὶ περὶ θατέρου, διότι, ἂν ἡ ἁφὴ μὴ ᾖ μία αἴσθησις ἀλλὰ πλείους, ἀνάγκη καὶ τὰ ἁπτὰ μὴ εἶναι ἑνὸς γένους αἰσθήσεως ἀλλὰ πλειόνων· διὰ τοῦτο δὲ τοῦτο φησί, διότι σκοπὸς ἐστὶν αὐτῷ, πρῶτον, διορίσασθαι περὶ τῶν αἰσθητῶν, μετὰ δὲ ταῦτα περὶ τῆς αἰσθήσεως. Διότι δὲ ἐν τοῖς περὶ ἁπτοῦ καὶ ἁφῆς | ῥηθησομένοις περὶ τὴν αἴσθησιν τῆς ἁφῆς ἀπορίας μέλλει f. 318
κινεῖν διὰ τὸ προσφορώτερον δύνασθαι μεταχειρίζεσθαι τὰς ἀπορίας ταύτας, ἂν κινῶνται περὶ τὸ ἁπτόν, διὰ τοῦτο ταύτην τὴν ἐξαιτίασιν προτάττει λέγων, ὅτι οὐ διαφέρει, ἂν περὶ ἁφῆς ἢ ἁπτοῦ τὸν λόγον ποιώμεθα. Κινεῖ τοίνυν δύο ζητήματα περὶ τὴν ἁφὴν καὶ τὸ ἁπτόν, ὧν τὸ πρῶτον τοιοῦτον ἐστίν, δηλονότι πότερον πολλαί εἰσιν αἱ αἰσθήσεις τῆς ἁφῆς, ἢ μία μόνον· τὸ δεύτερον ἐστί, τί τὸ αἰσθητήριον, τουτέστι τὸ ὄργανον τοῦ αἰσθάνεσθαι τῇ ἁφῇ, πότερον δηλονότι σάρξ ἐστι τὸ ὄργανον τῆς αἰσθήσεως τῆς ἁφῆς ἐν τοῖς ζῴοις τοῖς ἔχουσι σάρκα, ἅτινά εἰσι τὰ ἔναιμα ζῷα, καὶ ἐν τοῖς

---

2 *καθὸ*: *καθ' ἣν* B 20 *ἐν τῷ — ἔοικεν* om B 21 *αὖθις* om B 25 *θατέρου*: *τοῦ λοιποῦ* B

ἄλλοις τοῖς ἀναίμοις τὸ ἀναλογικῶς ἀποκρινόμενον τῇ σαρκί, ἢ οὐκ ἔστιν οὕτως. Ἀλλ' ἡ μὲν σὰρξ καὶ τὸ ἀνάλογον ἐστὶ μέσον ἐν τῇ αἰσθήσει τῆς ἁφῆς· τὸ δὲ πρῶτον ὄργανον τῆς κατὰ τὴν ἁφὴν αἰσθήσεως ἄλλο τί ἐστιν ἐντὸς περὶ τὴν καρδίαν, ὡς λέγεται ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ.

Πᾶσά τε γὰρ αἴσθησις. Ἐνταῦθα διορίζεται τὰς προειρημένας ἀπορίας, καὶ πρῶτον τὴν πρώτην· δεύτερον, τὴν δευτέραν, ἐν τῷ· Πότερον δέ. Καὶ περὶ τὸ πρῶτον οὕτω προχωρεῖ· πρῶτον μὲν δείκνυσιν, ὅτι οὐκ ἔστι μία αἴσθησις ἡ ἁφή, ἀλλὰ πλείους· δεύτερον, λύει τὸν τεθέντα λόγον, ἐν τῷ· Ἔχει δέ τινα λύσιν· τρίτον, ἀποδοκιμάζει τὴν λύσιν, ἐν τῷ· Ἀλλὰ τί τὸ ἕν. Ὁ δὲ λόγος, ὃν πρῶτον τίθησι, τοιοῦτός ἐστι. Πᾶσα γὰρ αἴσθησις δοκεῖ εἶναι μιᾶς ἐναντιότητος, ὥσπερ ἡ ὄψις τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ἡ ἀκοὴ τοῦ βαρέος καὶ ὀξέος, ἡ γεῦσις τοῦ πικροῦ καὶ γλυκέος. Ἀλλ' ἐν τῷ ἁπτῷ, ὅπερ ἐστὶν ἀντικείμενον τῆς ἁφῆς, εἰσὶ πολλαὶ ἐναντιότητες, δηλονότι τὸ θερμόν, ψυχρόν, ὑγρόν, ξηρόν, σκληρόν, μαλακὸν καί τινα ἄλλα τοιαῦτα, οἷον τὸ βαρὺ καὶ κοῦφον καὶ ὀξὺ καὶ ἀμβλὺ καὶ τὰ ὅμοια. Ἡ ἁφὴ ἄρα οὐ μία, ἀλλὰ πλείους.

Ἔχει δέ τινα. Ἐνταῦθα τίθησι τὴν φαινομένην λύσιν πρὸς τὸν προειρημένον λόγον, καὶ φησὶν ὅτι δύναταί τις ἔχειν λύσιν πρὸς τὴν προειρημένην ἀπορίαν διὰ τοῦ καὶ ἐν ταῖς ἄλλαις αἰσθήσεσι δοκεῖν εἶναι πλείους ἐναντιότητας, ὥσπερ ἐν τῇ ἀκοῇ. Περὶ γὰρ τὴν φωνὴν ἀκουστὸν οὖσαν οὐ μόνον ἡ ἐναντιότης τοῦ ὀξέος καὶ βαρέος κατανοεῖσθαι δύναται, ἀλλ' ἔτι καὶ τὸ μέγεθος καὶ ἡ μικρότης τῆς φωνῆς, καὶ ἡ λειότης καὶ ἡ τραχύτης αὐτῆς καί τινα ἄλλα ὅμοια. Ὡσαύτως καὶ περὶ τὸ χρῶμα δύνανται εὑρίσκεσθαι ἄλλαι τινὲς διαφοραὶ παρὰ τὴν ἐναντιότητα τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ὥσπερ τὸ χρῶμα μέν τι εἶναι ἐπιτεταμένον, ἄλλο δὲ ἀνειμένον, καὶ τὸ μὲν ὡραῖον, τὸ δὲ αἰσχρόν. Ὅθεν οὐ διὰ τοῦτο αἱρεῖται τὸ τὴν ἀκοὴν μίαν αἴσθησιν εἶναι· ὁμοίως δὲ καὶ τὴν ὄψιν. Ὅθεν ἡ πολλαπλῆ καὶ ποικίλη ἐναντίωσις τῶν ἁπλῶν οὐ δοκεῖ ἐμποδίζειν τὸ τὴν ἁφὴν μίαν εἶναι αἴσθησιν.

Ἀλλὰ τί τὸ ἕν. Ἐνταῦθα ἀποκλείει τὸν τεθέντα λόγον, καὶ φησὶν ὅτι πασῶν τῶν περὶ τὰ ἀκουστὰ ἐναντιώσεων ἕν ἐστιν ὑποκείμενον, δηλονότι ὁ ψόφος· ὁμοίως καὶ τὸ χρῶμα περὶ τὰ ὁρατά. Ἀλλ' οὐ δύναται εὑρίσκεσθαί τι ἓν κοινὸν ὑποκείμενον πασῶν τῶν ἐναντιώσεων τῶν περὶ τὰ ἁπτά, καὶ διὰ τοῦτο οὐ δοκεῖ ἓν εἶναι γένος τῶν ἁπτῶν· ὅθεν οὐδὲ μία ἁφή. Πρὸς δὲ τὴν τῶν ἐνταῦθα λεγομένων ἀκριβῆ θεωρίαν δεῖ θεωρεῖν, ὅτι ἡ διάκρισις τῶν δυνάμεων καὶ τῶν ἀντικειμένων ἀναλογικῶς ἐστίν· ὅθεν, ἐπεὶ μιᾶς αἰσθήσεως μία ἐστὶ δύναμις, δεῖ τὸ ταύτῃ ἀνταποκρινόμενον

11 *μιᾶς: μετ'* B 24 *παρά: περὶ* B 25 *τεταμένον* B 30 *τι* om B *τὴν τεθεῖσαν λύσιν* en marge de la main de Scholarios A, om B

αἰσθητὸν ἓν εἶναι γένος. Δέδεικται γὰρ ἐν τῷ [δεκάτῳ] τῶν μετὰ τὰ φυσικά, ὅτι ἐν ἑνὶ γένει ἔστι μία πρώτη ἐναντιότης· ὅθεν δεῖ περὶ τὸ ὑποκείμενον μιᾶς αἰσθήσεως κατανοεῖσθαι μίαν πρώτην ἐναντιότητα, καὶ διὰ τοῦτο ἐνταῦθα φησὶν ὁ Φιλόσοφος, ὅτι μία αἴσθησις μιᾶς ἔστιν ἐναντιώσεως. Δύνανται μέντοι ἐν ἑνὶ γένει πλείους εἶναι ἐναντιώσεις μετὰ τὴν πρώτην· ἢ κατὰ τὸν τῆς ὑποδιαιρέσεως τρόπον, ὥσπερ ἐν τῷ γένει τῶν σωμάτων πρώτη ἐναντιότης ἐστὶ τοῦ ἐμψύχου καὶ ἀψύχου. Καὶ διότι τὸ ἔμψυχον σῶμα διαιρεῖται τῷ αἰσθητικῷ καὶ ἀναισθήτῳ, καὶ ἔτι τὸ αἰσθητικὸν τῷ λογικῷ καὶ ἀλόγῳ, πολλαπλασιάζονται αἱ ἐναντιώσεις ἐν τῷ γένει τοῦ σώματος, ἢ εἰσὶ πλείους αἱ ἐναντιώσεις ἑνὸς γένους κατὰ συμβεβηκός, ὥσπερ ἐν τῷ γένει τοῦ χρώματος ἡ ἐναντιότης τοῦ λευκοῦ καὶ τοῦ μέλανος κατὰ πάντα τὰ τῷ χρώματι συμβαίνειν δυνάμενα· καὶ κατὰ τοῦτον τὸν τρόπον δεῖ νοεῖν, | ὅτι περὶ τὸν ψόφον καὶ τὴν φωνὴν f. 318v παρὰ τὴν πρώτην ἐναντίωσιν τοῦ βαρέος καὶ ὀξέος, ἥτις ἐστὶ καθ᾽ αὑτήν, εἰσὶν ἄλλαι ἐναντιώσεις, δηλονότι κατὰ συμβεβηκός. Ἐν δὲ τῷ γένει τῶν ἁπτῶν εἰσὶ πρῶται πλείους ἐναντιώσεις καθ᾽ αὑτάς, αἳ πᾶσαι τρόπῳ μέν τινι ἀνάγονται πρὸς ἓν ὑποκείμενον, τρόπῳ δέ τινι οὔ. Δύναται γὰρ λαμβάνεσθαι ἕνα μὲν τρόπον ὑποκείμενον τῆς ἐναντιώσεως αὐτὸ τὸ γένος, τὸ παραβαλλόμενον πρὸς τὰς ἐναντίας διαφοράς, ὡς ἡ δύναμις πρὸς τὴν ἐνέργειαν· ἄλλον δὲ τρόπον δύναται λαμβάνεσθαι τὸ ὑποκείμενον τῆς ἐναντιώσεως ἡ οὐσία ἡ ὑποκειμένη τῷ γένει, οὗ εἰσιν αἱ ἐναντιώσεις, ὥσπερ ἐὰν λέγωμεν ὅτι τὸ κεχρωσμένον σῶμα ἐστὶν ὑποκείμενον τοῦ λευκοῦ καὶ τοῦ μέλανος. Ἂν τοίνυν διαλεγώμεθα περὶ τοῦ ὑποκειμένου, ὅπερ ἐστὶ γένος, φανερόν ἐστιν, ὅτι οὐκ ἔστι ταὐτὸν ὑποκείμενον πασῶν τῶν ἁπτῶν ποιοτήτων. Ἂν δὲ διαλεγώμεθα περὶ τοῦ ὑποκειμένου, ὅπερ ἐστὶν ἡ οὐσία, ἓν ὑποκείμενον ἐστὶ πασῶν ἐκείνων, δηλονότι τὸ ἀνῆκον πρὸς τὴν τοῦ ζῴου σύστασιν σῶμα. Ὅθεν προϊὼν ὁ Φιλόσοφος λέγει, ὅτι αἱ ἁπταὶ ποιότητες εἰσὶ τοῦ σώματος, καθὸ ἐστι σῶμα, αἷς δηλονότι τὰ στοιχεῖα τοῦ σώματος διακρίνονται ἀλλήλων. Τούτων γάρ ἐστιν ἡ κατὰ τὴν αἴσθησιν ἁφὴ διακριτική, ἅπερ ἀνήκουσι πρὸς τὴν σύστασιν τοῦ σώματος τοῦ ζῴου. Ὅθεν εἰδικῶς διαλεγομένων ἡμῶν καὶ κατὰ τὸν λόγον, ἡ αἴσθησις τῆς ἁφῆς οὐκ ἔστι μία ἀλλὰ πλείους· τῷ δὲ ὑποκειμένῳ ἐστὶ μία.

Πότερον δέ. Ἐνταῦθα πραγματεύεται περὶ τῆς δευτέρας ἀντιθέσεως, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, διδάσκει τὴν ἀλήθειαν· δεύτερον, ἀποκλείει τι ἀνῆκον πρὸς φανέρωσιν τοῦ πρώτου ζητήματος, ἐν τῷ· Διὸ τὸ τοιοῦτο. Περὶ τὸ πρῶτον ἰστέον ἐστὶν ὅτι ἠδύνατο ἂν δόξαι τινί, ὅτι ἡ σὰρξ ἐστὶν ὄργανον τοῦ αἰσθάνεσθαι κατὰ ἁφὴν τούτῳ τῷ λόγῳ, διότι εὐθέως πρὸς τὴν ἁφὴν τῆς σαρκὸς αἰσθανόμεθα τῶν ἁπτομένων.

1 blanc après *ἐν τῷ* AB  10 *αἱ* om B

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

Ἀποκλείων τοίνυν καὶ ἀναιρῶν τοῦτον τὸν λόγον, φησὶ πρὸς τὸ διακρίνειν ὅτι τὸ ὄργανον τῆς ἁφῆς ἔστιν ἔνδον, ἢ μή, ἀλλ' εὐθέως ἡ σὰρξ ἐστὶν ὄργανον τῆς ἁφῆς, οὐ δοκεῖ ἱκανὸν σημεῖον εἶναι τὸ ἅμα ἁπτομένων τῆς σαρκὸς τῶν ἁπτῶν γίνεσθαι τὴν αἴσθησιν, διότι καὶ νῦν, ἄν τις ἐκτείνειεν ὑμένα τινὰ περὶ τὴν σάρκα, εὐθέως πρὸς τὴν ἁφὴν αὐτοῦ δὴ τοῦ περὶ τὴν σάρκα διαταθέντος γένοιτο ἂν αἴσθησις τοῦ ἁπτοῦ. Ἀλλ' ὅμως δῆλόν ἐστιν, ὅτι τὸ ὄργανον τῆς αἰσθήσεως τῆς ἁφῆς οὐκ ἔστιν ἐν τῷ ἐκτεταμένῳ δέρματι. Καὶ αὖθις φανερόν ἐστιν, ὅτι ἂν ὁ ὑμὴν ἐκεῖνος συμπεφυκὼς γένοιτο τῷ ἀνθρώπῳ, θᾶττον ἂν αἰσθάνοιτο δι' αὐτοῦ. Ὅθεν εἰ καὶ πρὸς τὴν ἁφὴν τῆς σαρκὸς τῆς συμπεφυκυίας τῷ ἀνθρώπῳ εὐθέως αἴσθησις γίνεται τοῦ ἁπτοῦ, οὐ μέντοι γε ἕπεται τὸ τὴν σάρκα εἶναι ὄργανον τῆς ἁφῆς, ἀλλ' ἔστι τι μέσον συμπεφυκός.

Διὸ τὸ τοιοῦτον. Ἐνταῦθα συμπεραίνει τι συντελοῦν πρὸς φανέρωσιν τοῦ πρώτου ζητήματος, καί φησιν ὅτι διὰ τὸ τὴν σάρκα εἶναι ὡσπερεὶ μέσον συμπεφυκὸς ἐν τῇ αἰσθήσει τῆς ἁφῆς, δοκεῖ τοῦτο τὸ μέρος τοῦ σώματος ἔχειν πρὸς τὴν αἴσθησιν τῆς ἁφῆς ὥσπερ ἂν εἰ ὁ περὶ ἡμᾶς ἀὴρ συμπεφυκὼς ἦν ἡμῖν· ἐδόκει γὰρ ἂν τότε τὸν ἀέρα ἐκεῖνον εἶναι ὄργανον ἐν τῇ ὄψει καὶ τῇ ἀκοῇ καὶ τῇ ὀσφρήσει, εἰ καὶ μέσον ἐστί, καὶ οὕτως ἐδοκοῦμεν ἂν ἑνὶ ὀργάνῳ αἰσθάνεσθαι τοῦ ψόφου, τῆς ὀσμῆς, τοῦ χρώματος, καὶ ἑπομένως ἐδόκει ἂν μία αἴσθησις εἶναι τῆς ἀκοῆς, τῆς ὄψεως καὶ τῆς ὀσφρήσεως. Ἀλλὰ νῦν, διότι τὸ μέσον δι' οὗ γίνονται αἱ κινήσεις τῶν εἰρημένων αἰσθητῶν, ἔστι διωρισμένον, τουτέστι διακεκριμένον ἡμῶν, δῆλον ἐστὶν ὅτι ὄργανον οὐ τυγχάνει· καὶ οὕτω φανερόν ἐστιν ὅτι διάφορά εἰσιν ὄργανα τῶν τριῶν αἰσθήσεων τῶν εἰρημένων, καὶ ἀκολούθως ὅτι καὶ διάφοροι εἰσὶν αἱ αἰσθήσεις. Ἀλλ' ἐν τῇ ἁφῇ τοῦτο οὐκ ἔστι φανερόν, διότι τὸ μέσον ἐστὶ συμπεφυκὸς ἡμῖν. Ἀλλὰ τῆς τοιαύτης διαφορότητος τὸν λόγον ἀποδίδωσιν. Ὁ γὰρ ἀὴρ καὶ τὸ ὕδωρ, ἅπερ εἰσὶ μεταξὺ τῶν ἄλλων αἰσθήσεων, οὐ δύνανται εἶναι συμπεφυκότα ἡμῖν, διότι ἀδύνατόν ἐστιν ἐξ ἀέρος εἰλικρινοῦς καὶ ἐξ ὕδατος εἰλικρινοῦς συνεστάναι ἔμψυχον σῶμα· ὑγρὰ γὰρ ὄντα καὶ ῥευστά, οὐκ εἰσὶ στερεὰ οὐδ' εὐόριστα ἐν ἑαυτοῖς, f. 319 ἀλλὰ | μόνον ἀλλοτρίῳ ὅρῳ· τὸ δὲ ἔμψυχον σῶμα δεῖ εἶναι στερεὸν καὶ ἐν ἑαυτῷ ὁριστόν. Ὅθεν δεῖ εἶναι μεμιγμένον ἔκ τε γῆς καὶ ἀέρος καὶ ὕδατος, ὥσπερ βούλεται ἔχειν ἡ σὰρξ ἐν τοῖς ζῴοις τοῖς ἔχουσι σάρκα, καὶ τὸ ἀνάλογον ἐν τοῖς ζῴοις τοῖς μὴ ἔχουσι σάρκα. Καὶ οὕτω τὸ σῶμα, ὅπερ ἐστὶ μεταξὺ ἐν τῇ ἁφῇ, δηλονότι ἡ σάρξ, δύναται εἶναι ἡνωμένον, τουτέστι συμπεφυκὸς τῇ ἁφῇ οὕτως, ὥστε δι' αὐτοῦ καθάπερ μέσου τινὸς γίνεσθαι τὰς αἰσθήσεις τῆς ἁφῆς πλείους.

Δηλοῖ δ' ὅτι. Ἐνταῦθα τίθησιν ἄλλο τι πρὸς τὸ ἀποδεῖξαι καὶ

---

9 *θᾶττερον* B 11 *γίνεται* corrigé de *ἐστὶν* B 32 *καὶ* avant *ἀέρος* om B
33 *ἅπερ* B 35 *εἶναι* om B

Ε.ΥΔ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φανερῶσαι τὸ αὐτό, καὶ φησὶν ὅτι τοῦτο αὐτὸ δείκνυται διὰ τοῦ ἐν τῇ γλώττῃ πλείους εἶναι αἰσθήσεις· αἰσθανόμεθα γὰρ διὰ τῆς γλώττης πάντων τῶν ἁπτῶν, ὧν αἰσθανόμεθα διὰ τῶν ἄλλων μερῶν τοῦ σώματος, καὶ ἔτι πλέον δι' αὐτῆς αἰσθανόμεθα τοῦ χυμοῦ, οὗπερ οὐκ αἰσθανόμεθα ἄλλῳ τινὶ μέρει τοῦ σώματος. Εἰ δὲ καὶ ἡ ἄλλη σὰρξ ᾐσθάνετο τοῦ χυμοῦ, οὐκ ἂν διεκρίνομεν τὴν γεῦσιν τῆς ἁφῆς, ὥσπερ νῦν διακρίνομεν αὐτήν, τῆς ἁφῆς διακριτικῆς οὔσης τοῦ θερμοῦ καὶ ψυχροῦ. Ἀλλὰ νῦν φαίνεται, ὅτι ἡ γεῦσις καὶ ἡ ἁφὴ δύο αἰσθήσεις εἰσί, διότι οὐκ ἀντιστρέφουσιν ἀλλήλαις· οὐ γὰρ παντὶ μέρει ὁπωσδήποτε γίνεται ἡ γεῦσις, δι' οὗ γίνεται ἡ ἁφή, διότι οἱ χυμοὶ οὐκ εἰσὶ ποιότητες τῶν στοιχείων, ἐξ ὧν τὸ τοῦ ζῴου σῶμα συνέστηκεν. Ὅθεν οὐκ ἀνήκουσι πρὸς τὴν τοῦ ζῴου σύστασιν ὥσπερ αἱ ἁπταὶ ποιότητες.

## Leçon XXIII.

Ἀπορήσειε δ' ἄν τις. Δείξας ὅτι ἐν τῇ αἰσθήσει τῆς ἁφῆς ζητεῖται μέσον συμπεφυκός, ἐνταῦθα ἐπιζητεῖ ὁ Φιλόσοφος εἰ ἄρα δεῖ ζητεῖσθαι ἐν αὐτῷ μέσον ἐξωτερικόν, καὶ περὶ τούτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι ἡ ἁφὴ οὐ γίνεται χωρὶς μέσου ἐξωτερικοῦ· δεύτερον, δείκνυσιν ἐν τίνι διαφέρουσιν ἡ ἁφὴ καὶ ἡ γεῦσις, αἳ διὰ μέσου ἐξωτερικοῦ αἰσθάνονται ἐν τῷ . Φησὶ τοίνυν, πρῶτον, ὅτι περὶ τὴν ἁφὴν δυνατόν τινα ἀπορεῖν, εἰ ἄρα δηλονότι ἔχει μέσον ἐξωτερικόν, ἐπεὶ δέδεικται, ὅτι ἔχει μέσον συμπεφυκός. Καὶ αὕτη ἡ ἀπορία πρόεισιν οὕτως. Εἰ πᾶν σῶμα ἔχει βάθος, ὅπερ ἐστὶν ἡ τρίτη διάστασις· πᾶν γὰρ σῶμα ἔχει τὰς τρεῖς διαστάσεις, δηλονότι μῆκος, πλάτος καὶ βάθος· ἕπεται ὅτι ὧν ἂν σωμάτων μεταξὺ ἔστι τι σῶμα, ταῦτα οὐχ ἅπτονται ἀλλήλων ἀμέσως· διΐστανται γὰρ ἀλλήλων ἐκ τοῦ διάστασίν τινα εἶναι μεταξὺ αὐτῶν. Ἔτι, φανερὸν ἐστὶν ὅτι, ὅπου ἐστὶν ὑγρὸν ἢ διερόν, ἤγουν ὑδαρῶδες, δεῖ εἶναι σῶμά τι· ἡ γὰρ ὑγρότης, ποιότης τις οὖσα, οὐ δύναται εἶναι εἰ μὴ ἐν ὑποκειμένῳ σώματι. Ἢ τοίνυν ἔνεστι τινὶ σώματι καθ' ἑαυτό, καὶ τότε ἐστὶν ὑγρόν, ὥσπερ τὸ ὕδωρ· ἢ ἔχει τὴν ὑγρότητα κατά τι σῶμα ἐπεισιὸν αὐτῷ, καὶ οὕτω λέγεται τὸ διερὸν ἐκ τοῦ ἔχειν ὕδωρ ἢ ἀέρα ἐν τῇ ἐπιφανείᾳ μόνον, ἢ κἂν τῇ ἐπιφανείᾳ κἂν τῷ βάθει. Καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ἀνάγκη πᾶν σῶμα ὑγρὸν εἶναι ἢ διερὸν ἤγουν ὕδωρ εἶναι, ἢ ὕδωρ ἔχειν. Φανερὸν δὲ ὅτι τὰ σώματα ἁπτόμενα ἀλλήλων ἐν τῷ ὕδατι, ἀνάγκη ἐστὶν ἔχειν ἐν ἑαυτοῖς ὕδωρ μέσον, οὗτινος εἰσὶ πλήρη τὰ ἔσχατα αὐτῶν, εἰ μὴ ἴσως φαίη τις, ὅτι ξηρά εἰσιν ὄντα ἐν ὕδατι, ὅπερ ἀδύνατον· ἀνάγκη γὰρ τὰ ἐν τῷ ὕδατι ὄντα εἶναι διερά, καὶ οὕτω δεῖ ἔχειν αὐτὰ ὕδωρ ἐν τῇ ἐπιφανείᾳ. Καὶ οὕτω καταλείπεται, ὅτι ἐν δυσὶν

1 *φανερῶσαι*: *δεῖξαι* B 19 blanc pour la référence, omise au texte d'Aristote après *ἐν τῷ* AB 36 *τῷ* om B

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

ἁπτομένοις ἀλλήλων ἐν ὕδατι, ἔστιν ὕδωρ μέσον· καὶ εἰ τοῦτο ἀληθές ἐστιν, ἕπεται ἀδύνατον εἶναι σῶμά τι ἅπτεσθαι ἄλλου ἐν τῷ ὕδατι ἀμέσως. Τὸν αὐτὸν ἔχει τρόπον καὶ περὶ τοῦ ἀέρος, ὅς ἐστι φύσει ὑγρός, ὥσπερ καὶ τὸ ὕδωρ. Ὁμοίως γὰρ ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν τῷ ἀέρι διερά, ὥσπερ ἔχει τὸ ὕδωρ πρὸς τὰ ἐν τῷ ὕδατι διερά. Ἀλλὰ μᾶλλον λέληθεν ἡμᾶς ὁ ἀήρ, μέσος ὤν, ἢ τὸ ὕδωρ διὰ τὸ συνεχῶς ἡμᾶς εἶναι ἐν ἀέρι καὶ οὕτως ἀκαταλήπτως προσπεφυκέναι ἡμῖν. Ὁμοίως καὶ τὰ ἐν τῷ ὕδατι ζῷα λέληθεν ἑαυτά, εἰ δύο σώματα διερὰ δι' ὕδατος ἀλλήλων ἅπτονται. Διότι γὰρ συνεχῶς εἰσιν ἐν τῷ ὕδατι, οὐκ ἐπαισθάνονται τοῦ ὕδατος, ὅπερ ἐστὶν αὐτῶν τε μεταξὺ καὶ τῶν ἁπτομένων σωμάτων. Ἔστι δὲ ἄλλος λόγος πῶς μᾶλλον λανθάνει ἡμᾶς περὶ τοῦ ἀέρος ἢ περὶ τοῦ ὕδατος, διότι ὁ ἀὴρ λεπτότερός ἐστιν καὶ ἧττον αἰσθήσει καταληπτός. Καταλείπεται τοίνυν, ὅτι ἀεὶ ἁπτομένων ἡμῶν ἔστι τι μέσον ἡμῶν καὶ ὧν ἁπτόμεθα, ἀὴρ ἢ ὕδωρ.

f. 319v Ἀλλ' ἔστιν ἐνταῦθα ἀπορία· δεῖ γὰρ τὸ μεταξὺ ὂν ἔν τινι | αἰσθήσει γεγυμνῶσθαι τῶν κατ' ἐκείνην τὴν αἴσθησιν αἰσθητῶν ποιοτήτων, ὥσπερ τὸ διαφανὲς οὐδὲν ἔχει χρῶμα. Φανερὸν δέ ἐστιν, ὅτι ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἔχουσιν ἁπτὰς ποιότητας· οὐ τοίνυν μεσιτευουσῶν αὐτῶν δυνατὸν γίνεσθαι τὴν αἴσθησιν τῆς ἁφῆς. Πρὸς δὴ τοῦτο ἀποκριθήσεται Ἀβερόης, ὅτι ἡμεῖς οὐ πάσχομεν ὑπὸ ἀέρος εἰλικρινοῦς, ἢ ὕδατος· οὐδὲν γὰρ πάσχει εἰ μὴ ὑπὸ τοῦ ἐναντίου αὐτῷ κατὰ τὴν ἀρχὴν τοῦ πάθους· ὁ δὲ ἀὴρ καὶ τὸ ὕδωρ οὐκ ἐναντιοῦνται ἡμῖν, ἀλλ' εἰσὶν ἡμῖν ὅμοια· παραβάλλονται γὰρ πρὸς ἡμᾶς ὥσπερ ὁ τόπος πρὸς τὸ ἐν τόπῳ· φανερὸν γὰρ ὅτι τὰ ἡμέτερα σώματα κληροῦνται τὸν φυσικὸν τόπον, ὥσπερ καὶ τὴν φυσικὴν κίνησιν, ἐκ τῆς φύσεως τοῦ ἐπικρατοῦντος στοιχείου. Οὐκοῦν οὐκ ἄλλως παραβάλλονται πρὸς τὸν τόπον καὶ πρὸς τὰ σώματα τὰ περιεκτικὰ τῶν ἡμετέρων σωμάτων ἢ αὐτὰ τὰ στοιχεῖα τὰ ἐν τόπῳ. Τὰ δὲ στοιχεῖα ἐν ταῖς ὑπερβολαῖς ἀλλοιοῦσιν ἑαυτά, ὡς ὁ Φιλόσοφος δηλοῖ ἐν τῷ πρώτῳ τῶν μετὰ τὰ φυσικά. Τὸ τοίνυν ἡμέτερον σῶμα ὑπὸ τῶν στοιχείων πέφυκεν ἀλλοιοῦσθαι. Ἔτι, πᾶν τὸ δυνάμει ὂν πέφυκε πάσχειν ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος· τὰ δὲ ἡμέτερα σώματα ἔν τινι μεσότητι συνεστῶτα τῶν ὑπερβολῶν τῶν ἁπτῶν ποιοτήτων, αἵτινές εἰσιν ἐν τοῖς στοιχείοις, ἔχουσί πως πρὸς τὰς ποιότητας τὰς ἐν τοῖς στοιχείοις [ὡς δύναμις πρὸς ἐνέργειαν]· τὸ γὰρ μέσον ἐστὶν ἐν δυνάμει πρὸς τὰ ἄκρα, ὡς μετὰ ταῦτα ῥηθήσεται. Φανερὸν τοίνυν ἐστίν, ὅτι τὰ ἡμέτερα σώματα πέφυκε μεταβάλλεσθαι ὑπὸ τῶν ποιοτήτων τῶν στοιχείων καὶ αἰσθάνεσθαι αὐτῶν. Αὕτη δὲ ἡ πλάνη πρόεισιν ἐκ τοῦ μὴ εἰδέναι διακρίνειν ἐν τοῖς στοιχείοις, καθό εἰσιν ἀλλήλοις ἐναντία καὶ καθὸ εἰσι περιέχοντα ἑαυτὰ καὶ ἑαυτοῖς ὅμοια, ὡς ὁ τόπος τῷ ἐν τόπῳ. Ῥητέον τοίνυν ἐστίν, ὅτι τὰ στοιχεῖα δύναται

---

7 *ἀκαταλήπτως* corrigé de *ἀμεθέκτως* A 15 *κατ' ἐκείνην τὴν αἴσθησιν* om B 32 [*ὡς δύναμις πρὸς ἐνέργειαν*] om AB

διχῶς θεωρεῖσθαι· ἕνα μὲν τρόπον κατὰ τὰς ἐνεργητικὰς ποιότητας καὶ παθητικὰς καὶ καθὸ ἐναντιοῦνται ἀλλήλοις καὶ μεταβάλλουσιν ἄλληλα ἐν τοῖς ἑαυτῶν ἄκροις· ἄλλον δὲ τρόπον κατὰ τὰ οὐσιώδη εἴδη, ἃ λαμβάνουσιν ἐκ τῆς      τοῦ οὐρανίου σώματος. Ὅθεν ὅσῳ τι σῶμα στοιχειῶδες ἐστὶ προσεχέστερον τῷ οὐρανίῳ σώματι, τοσούτῳ πλέον ἔχει ἐκ τοῦ εἴδους. Καὶ διότι πρὸς τὸ εἶδος ἀνήκει τὸ περιέχειν τε καὶ ἔχειν πως ἐν ἑαυτῷ τὸν τοῦ ὅλου λόγον, ἐντεῦθεν ἐστίν, ὅτι τὸ ἀνώτερον σῶμα περιέχει τὸ κατώτερον καὶ παραβάλλεται πρὸς αὐτὸ ὡς ὅλον πρὸς μέρος διῃρημένον, ἥτις ἐστὶν ἡ τοῦ τόπου πρὸς τὸ ἐν τόπῳ παράθεσις. Ὅθεν καὶ ἡ τοῦ περιέχοντος δύναμις παράγεται πρὸς τὰ στοιχεῖα ἐκ τοῦ πρώτου περιέχοντος, δηλονότι τοῦ οὐρανίου σώματος, καὶ διὰ τοῦτο ὁ τόπος καὶ ἡ τοπικὴ κίνησις οὐκ ἀποδίδοται τοῖς στοιχείοις κατὰ τὰς ἐνεργητικὰς καὶ παθητικὰς ποιότητας, ἀλλ' ἕπεται τοῖς οὐσιώδεσιν εἴδεσι τῶν στοιχείων. Ἔστι καὶ ἑτέρα πλάνη, ὅπου φησὶν ὅτι τὸ ὕδωρ καὶ ὁ ἀὴρ οὐκ ἀλλοιοῦνται εἰ μὴ μίξει ἐξωτερικοῦ. Φανερὸν γάρ ἐστιν, ὅτι ὁ ἀὴρ καὶ τὸ ὕδωρ κατὰ μέρος φθαρτικά εἰσιν· ἡ δὲ φθορὰ καὶ ἡ γένεσις ἐν τοῖς στοιχείοις δύναται γίνεσθαι ἄνευ μίξεως τῆς ἑπομένης τῇ ἀλλοιώσει, ὡς λέγεται ἐν τῷ περὶ γενέσεως ὅθεν φανερόν ἐστιν ὅτι, ἔτι μένοντος τοῦ εἴδους τοῦ ὕδατος, δύναται μεταβάλλειν τὸ ὕδωρ ἐκ τῆς φυσικῆς αὐτοῦ ποιότητος χωρὶς μίξεως ἐξωτερικοῦ τινος. Τὸ πῦρ δέ, εἰδικώτερον ὄν, ἐστι δραστικώτερον ἐν τοῖς στοιχείοις, ἃ πάντα παραβάλλονται πρὸς αὐτὸ ὡς ὑλικά, ὡς λέγεται ἐν τῷ τῶν μετεώρων. Ὅθεν οὐκ ἔστιν ὅμοιον περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων. Ῥητέον οὖν ὅτι ὁ ἀὴρ καὶ τὸ ὕδωρ ῥᾳδίως μεταβάλλουσιν ὑπὸ τῶν ἐξωτερικῶν ποιοτήτων, καὶ μάλιστα ὁπόταν ὦσι βραχείας ποσότητος, ὥσπερ συμβαίνει ἐν τῷ ἀέρι, ἢ ἐν τῷ ὕδατι, τοῖς οὖσι μεταξὺ δύο σωμάτων ἁπτομένων ἀλλήλων. Διὰ τοῦτο οὐκ ἐμποδίζεται ἡ αἴσθησις τῆς ἁφῆς, ὥστε μὴ διὰ μέσου τοῦ ἀέρος καὶ τοῦ ὕδατος δύνασθαι γίνεσθαι. Καὶ ἔλαττον ἔτι ἐμποδίζει ὁ ἀὴρ ἢ τὸ ὕδωρ, διότι ὁ ἀὴρ ἔχει τὰς ἁπτὰς ποιότητας ἔλαττον αἰσθητάς. Ὅθεν, ἂν ἐπιτείνωνται αἱ ἁπταὶ ποιότητες τοῦ ὕδατος ἢ τοῦ ἀέρος, μᾶλλον ἐμποδίζεται ἡ ἁφή, ὡς ὅταν τυχὸν ὁ ἀήρ, ἢ τὸ ὕδωρ ἐπιτεταμένην ἔχωσι ψυχρότητα | ἢ θερμότητα. f. 320

Πότερον οὖν πάντων ὁμοίως. Ἐνταῦθα δείκνυσι τὴν διαφορὰν τὴν μεταξὺ τῆς ἁφῆς καὶ τῆς γεύσεως καὶ τῶν ἄλλων αἰσθήσεων, καὶ πρῶτον ἀποκλείει τινὰ διαφορὰν ψευδῶς δοξαζομένην· δεύτερον, τίθησι τὴν ἀληθῆ, ἐν τῷ· Ἀλλὰ διαφέρει. Λέγει τοίνυν, πρῶτον, ὅτι ἐπεὶ ἡ ἁφὴ μέσον ἔχει ἐξωτερικόν, σκεπτέον ἐστὶ πότερον πάντων τῶν αἰσθητῶν ὁμοίως γίνεται ἡ αἴσθησις, ἢ τῶν διαφόρων διαφόρως, ὥσπερ ἐξ ἑτοίμου δόξειεν ἂν αὕτη εἶναι διαφορά, ὅτι ἡ γεῦσις καὶ ἡ ἁφὴ αἰσθάνονται

4 blanc après *ἐκ τῆς* AB, latin: *ex impressione* 17 *δύνανται* B 24 *ὅταν* B
28 *ἔτι* om B 29 *ἔλαττον*: *ἧττον* B

ἀμέσως ἁπτόμεναι, αἱ δὲ ἄλλαι αἰσθάνονται πόρρωθεν τῶν ἰδίων αἰσθητῶν, οὐχ ἁπτόμεναι αὐτῶν. Ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀληθές, τὸ ταύτῃ διαφέρειν, ἀλλὰ τὸ σκληρὸν καὶ μαλακὸν καὶ τὰς ἄλλας ποιότητας τὰς ἁπτὰς αἰσθανόμεθα δι' ἄλλων, δηλονότι διὰ μέσων ἐξωτερικῶν, ὥσπερ καὶ τὰ ἀντικείμενα τῶν ἄλλων αἰσθήσεων, δηλονότι τὸ ψοφητικὸν καὶ ὁρατὸν καὶ ὀσφραντόν. Ἀλλὰ ταῦτα τὰ αἰσθητὰ εἰσὶ πόρρωθεν ἐνίοτε τῆς αἰσθήσεως, τὰ δὲ γευστὰ καὶ ἁπτὰ εἰσὶν ἐγγύθεν ἐπὶ τοσοῦτον, ὥστε τὸ μέσον εἶναι ὡσανεὶ ἀκατάληπτον διὰ τὴν μικρότητα, καὶ διὰ τοῦτο τὸ μέσον λανθάνει. Πάντων γὰρ τῶν αἰσθητῶν αἰσθανόμεθα διὰ μέσου ἐξωτερικοῦ, ἀλλ' ἐν τοῖς γευστοῖς καὶ ἁπτοῖς λανθάνει, διότι, ὡς προείπομεν, ἐὰν διά τινος ὑμένος περιτεθειμένου ἡμῖν πάντων τῶν ἁπτῶν ᾐσθανόμεθα ἀγνοοῦντες εἶναί τι τὸ διεῖργον, ὁμοίως ἂν εἴχομεν πρὸς τὸ αἰσθάνεσθαι διὰ τοῦ μεταξύ, ὥσπερ καὶ νῦν ἔχομεν αἰσθανόμενοι ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι. Δοκοῦμεν γὰρ νῦν αὐτῶν ἅπτεσθαι τῶν αἰσθητῶν καὶ μηδὲν εἶναι μέσον.

Ἀλλὰ διαφέρει. Ἀποκλείσας τὴν ψευδῆ διαφοράν, ἐνταῦθα τίθησι τὴν ἀληθῆ, καὶ φησὶν ὅτι τὰ ἁπτὰ διαφέρουσι τῶν ὁρατῶν καὶ ἠχητικῶν, καθότι ἐκείνων μὲν τῶν αἰσθητῶν αἰσθανόμεθα διὰ τοῦ αὐτὰ μὲν κινεῖν τὸ μέσον, τὸ δὲ μέσον ἡμᾶς· ἀλλὰ τῶν ἁπτῶν αἰσθανόμεθα διὰ μέσου ἐξωτερικοῦ οὐχ ὥσπερ κινούμενοι ὑπὸ μέσου ἐξωτερικοῦ, ἀλλ' ἅμα μετὰ τοῦ μέσου κινούμενοι ὑπὸ τοῦ αἰσθητοῦ, ὥσπερ φαίνεται ἐπὶ τοῦ δι' ἀσπίδος πληττομένου. Οὐ γὰρ συμβαίνει τὴν ἀσπίδα πληττομένην πλήττειν, ἀλλ' ἅμα συμβαίνει πλήττεσθαι ἑκάτερον. Τὸ δὲ ἐνταῦθα λεγόμενον ἅμα οὐ δεῖ νοεῖν κατὰ τὴν τάξιν τοῦ χρόνου μόνον, διότι καὶ ἐν τῇ ὄψει ἅμα κινεῖται τὸ μέσον ὑπὸ τοῦ ἀντικειμένου, ὡς ἡ αἴσθησις ὑπὸ τοῦ μέσου· γίνεται γὰρ ἡ ὄψις ἄνευ διαδοχῆς, ἡ δὲ κατάληψις τοῦ ψόφου μετὰ διαδοχῆς τινός, ὡς ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ λέγεται· ἀλλὰ τοῦτο ἀναφέρειν δεῖ πρὸς τὴν τάξιν τῆς αἰτίας. Ἐν γὰρ τοῖς ἄλλοις αἰσθητοῖς ἡ μεταβολὴ τοῦ μέσου αἰτία ἐστὶ τοῦ μεταβάλλειν τὴν αἴσθησιν, οὐχὶ δὲ καὶ ἐπὶ τῆς ἁφῆς. Ἐν γὰρ ταῖς ἄλλαις αἰσθήσεσιν τὸ μέσον ἐστὶν ἐξ ἀνάγκης· ἐν δὲ τῇ ἁφῇ, ὡσανεὶ κατὰ συμβεβηκός, καθόσον συμβαίνει τὰ ἁπτόμενα ἀλλήλων σώματα εἶναι διερά.

Ὅλως δὲ ἔοικεν. Ἐνταῦθα διορίζεται περὶ τῆς αἰσθήσεως τῆς ἁφῆς κατὰ ἀλήθειαν, καὶ πρῶτον ὅσον πρὸς τὸ μέσον· δεύτερον, ὅσον πρὸς τὴν ποιότητα τοῦ ὀργάνου, ἐν τῷ· Ἁπταὶ μέν· τρίτον, ὅσον πρὸς τὸ ἀντικείμενον, ὅπερ καταλαμβάνεται τῇ αἰσθήσει, ἐν τῷ· Ἔτι δέ. Φησὶ τοίνυν ὅτι οὕτω δοκεῖ ἔχειν ἡ σὰρξ καὶ ἡ γλῶττα πρὸς τὸ ὄργανον τῆς αἰσθήσεως τῆς ἁφῆς, ὥσπερ ἔχει ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὸ ὄργανον τῆς ὄψεως, τῆς ἀκοῆς καὶ τῆς ὀσφρήσεως· ἐν οὐδενὶ γὰρ τούτων δύναται γίνεσθαι αἴσθησις, ἂν ἅπτηται τὸ ὄργανον, οἷον ἄν τις θῇ σῶμά τι λευκὸν

3 τό: *καὶ* B 11 *περιτεθειμένων* B 18 *μὲν* après *ἁπτῶν* add B

ἐν τῇ ἐπιφανείᾳ τοῦ ὀφθαλμοῦ, οὐχ ὁρᾶται. Ὅθεν φανερόν ἐστιν, ὅτι τὸ αἰσθητικὸν ὄργανον ἐν τῇ αἰσθήσει τῆς ἁφῆς ἐστιν ἐντός· οὕτω γὰρ συμβαίνει ἐν ταύτῃ τῇ αἰσθήσει ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. Οὐ γὰρ αἰσθάνονται τῶν ἄλλων αἰσθητῶν ἐπιτιθεμένων τῷ ὀργάνῳ τῆς αἰσθήσεως· αἰσθάνονται δὲ ἐπιτιθεμένων τῇ σαρκί. Ὅθεν φανερόν ἐστιν ὅτι ἡ σὰρξ οὐκ ἔστιν ὄργανον τῆς κατὰ τὴν ἁφὴν αἰσθήσεως, ἀλλὰ μέσον.

Ἁπταὶ μὲν οὖν. Ἐνταῦθα δείκνυσι ποταπὸν ἂν εἴη τὸ ὄργανον τῆς αἰσθήσεως, καὶ φησὶν ὅτι αἱ ἁπταὶ ποιότητες εἰσὶν ἐκ τοῦ σώματος, καθό ἐστι σῶμα, τουτέστιν ἐξ ὧν τὰ στοιχεῖα διακρίνονται ἀλλήλων, | δηλονότι τὸ θερμόν, τὸ ψυχρόν, τὸ ξηρὸν καὶ τὸ ὑγρόν, περὶ ὧν εἴρηται f. 320v ἐν τοῖς περὶ στοιχείων ἤγουν ἐν τῷ περὶ γενέσεως. Φανερὸν δέ ἐστιν ὅτι τὸ ὄργανον τῶν ἁφῶν, ἐν ᾧ δηλονότι πρῶτον θεμελιοῦται ἡ αἴσθησις ἡ λεγομένη ἁφή, ἐστὶ μέρος τι ἐν δυνάμει ὂν πρὸς τὰς τοιαύτας ποιότητας· τὸ γὰρ ὄργανον τῆς αἰσθήσεως πάσχει ὑπὸ τοῦ αἰσθητοῦ, διότι τὸ αἰσθάνεσθαι πάσχειν τί ἐστιν· ὅθεν τὸ αἰσθητόν, ὅπερ ἐστὶ ποιοῦν, ποιεῖ αὐτὸ εἶναι τοιοῦτον ἐνεργείᾳ, ὁποῖον τὸ αἰσθητόν ἐστιν, ἐπεὶ δυνάμει ἐστὶ πρὸς τοῦτο· καὶ διὰ τοῦτο τὸ ὄργανον τῆς ἁφῆς οὐκ αἰσθάνεται ἐκείνης τῆς ποιότητος, καθ' ἣν ἐστιν ἐνεργείᾳ. Οὐ γὰρ αἰσθανόμεθα τοῦ θερμοῦ, ἢ ψυχροῦ, τοῦ σκληροῦ, ἢ μαλακοῦ κατ' ἐκεῖνον τὸν τρόπον, ᾧ ταῦτα ἔνεισι τῷ ὀργάνῳ τῆς ἁφῆς, ἀλλ' αἰσθανόμεθα τῆς ὑπεροχῆς τῶν ἁπτῶν ὡς τοῦ ὀργάνου τῆς ἁφῆς συνεστῶτος ἔν τινι μεσότητι τῶν ἐναντίων ἁπτῶν ποιοτήτων, καὶ διὰ τοῦτο τὸ ὄργανον τῆς ἁφῆς διακρίνει τὰ ἄκρα τῶν ἁπτῶν· τὸ γὰρ μέσον διακριτικὸν τῶν ἄκρων ἐστίν· δύναται γὰρ πάσχειν ἀφ' ἑκατέρου τῶν ἄκρων, καθόσον παραβαλλόμενον πρὸς θάτερον ἔχει τὸν τοῦ λοιποῦ λόγον, ὥσπερ τὸ χλιαρὸν τῇ πρὸς τὸ θερμὸν παραθέσει ψυχρόν ἐστι, κἂν τῇ πρὸς τὸ ψυχρόν ἐστι θερμόν. Ὅθεν τὸ μέσον πάσχει ὑφ' ἑκατέρου τῶν ἄκρων, ἐπειδὴ τρόπον τινὰ ἐστὶν ἑκατέρῳ ἐναντίον. Καὶ δεῖ, καθάπερ τὸ ὄργανον τὸ αἰσθήσεσθαι μέλλον λευκοῦ καὶ μέλανος, οὐδὲν αὐτῶν ἔχειν ἐνεργείᾳ, ἀλλ' ἑκάτερον δυνάμει, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, οὕτω κἂν τῇ αἰσθήσει τῆς ἁφῆς ἔχειν, ὥστε δηλονότι τὸ ὄργανον μήτε θερμὸν εἶναι, μήτε ψυχρὸν ἐνεργείᾳ, ἀλλὰ δυνάμει ἑκάτερον. Ἄλλως μέντοι συμβαίνει τοῦτο περὶ τὴν ἁφὴν καὶ περὶ τὰς ἄλλας αἰσθήσεις. Ἐν γὰρ τῇ ὄψει τὸ τῆς ὄψεως ὄργανον ἐστὶν ἐν δυνάμει πρὸς τὸ λευκὸν καὶ τὸ μέλαν ὡς γεγυμνωμένον ὅλου τοῦ γένους τοῦ λευκοῦ καὶ τοῦ μέλανος· ἔστι γὰρ παντάπασιν ἐστερημένον χρώματος. Ἀλλὰ τὸ μέσον τῆς ἁφῆς ἀδύνατον γεγυμνῶσθαι ὅλου τοῦ γένους τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ· συντέθειται γὰρ ἐκ τῶν στοιχείων, ὧν αὗται εἰσὶν ἴδιαι αἱ ποιότητες. Ἀλλ' οὕτω γίνεται ἐν δυνάμει τὸ ὄργανον τῆς ἁφῆς πρὸς τὰ ἴδια ἀντικείμενα, καθόσον ἐστὶ μεταξὺ τῶν ἐναντίων. Τὸ μέσον γάρ ἐστιν ἐν δυνάμει πρὸς τὰ ἄκρα, καὶ ἀεὶ ὅσῳ τὸ ζῷον ἔχει συμπλοκὴν μᾶλλον ἀνηγμένην πρὸς τὸ μέσον, τοσούτῳ ἔχει